*Ἐρμ.* Αἱ δύο ἀποκρίσεις αὗται σαφεῖς εἰσί. Βλέπομεν δὲ, ὅτι οἱ πλείους τῶν δεχομένων μοναχῶν(1) λογισμοὺς ἀνθρώπων μετὰ τοῦ τοιούτου Κανονικοῦ κανονίζουσι. Ζήτει οὖν κατὰ τὴν παροῦσαν σωτήριον γενέσθαι ἀπόκρισιν. Τὸ μέν τοι μὴ λαμβάνειν κλάσμα ὑψουμένου ἄρτου τοὺς μεταλαμβάνειν κωλυθέντας τῶν θείων ἁγιασμάτων, πραγματικῶς γινόμενον βλέπομεν. Νομίζω δὲ ὅτι αἱ γυναῖκες, κἂν κωλυθῶσι τῆς μεταλήψεως τῶν ἁγιασμάτων, οὐκ ἐμποδισθήσονται λαμβάνειν κλάσμα ὑψωθέντος ἄρτου, διότι ἐν διαφόροις κανόσι φησὶν ὁ ἅγιος Βασίλειος, τὰς ὀλισθησάσας γυναῖκας, καὶ διὰ τοῦτο ἐπιτιμίῳ ἀκοινωνησίας ἐκκλησιαστικῆς καθυποβληθείσας, τῆς μὲν ἁγίας μεταλήψεως ἀπαλλοτριοῦσθαι, τῆς δὲ ἐκκλησιαστικῆς συνάξεως μὴ ἀποξενοῦσθαι, ὥσπερ τοὺς ἄνδρας, ἵνα μὴ γένωνται ἐν ὑπολήψει οὐκ ἀγαθῇ, καὶ παρὰ τοῦτο θριαμβευθῶσιν. Εἰ γοῦν οὐ δοθείη αὐταῖς ἐκκλησιαζούσαις κλάσμα ἄρτου ὑψωθέντος, διαγνωσθείη ἑτοίμως τὸ κακὸν, δι' ὃ οὐκ ἀξιοῦνται τῆς ἁγίας μεταλήψεως, ὅπερ οὐ βούλεται ὁ ἅγιος(2).

---

(1) Χ. Τρ. — τὸ, μοναχῶν οὐ κεῖται ἐν Χ. V παρὰ Βευερ. καὶ Ε. εἰ μὴ λατινιστὶ παρὰ τούτῳ. — (2) Ὧδε τέλος τῶν Ἐρωτήσεων. Χ. V.